eul_wid: cqc-ae

*Παιάνας (Ἀνώνυμος, Αἰῶνος Ε΄π.Χ.)* · Paean Collection Anonymous

# Delphic Paean I to Apollo

*Δελφικὸς Παιὰν Α' πρὸς Ἀπόλλωνα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Δωρική* Doric (frg)
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 1.1 [ln_1]Κέκλυθ' Ἑλικ]ῶνα βαθύδενδρον αἳ λά[χετε Διὸς] ἐ[ρι]βρόμου θύγατρες εὐώλε[νοι,] μόλε[τ]ε, συνόμαιμον ἵνα

book 1.2 Φοῖβον ᾠδαῖσι μέλψητε

book 1.3 χρυσεοκόμαν, ὃς ἀνὰ δικόρυμβα

book 1.4 Παρνασσίδος[ln_5]τᾶσδε

book 1.5 πετέρας ἕδραν' ἅμ' [ἀ]γακλυταῖς Δελφίσιν Κασταλίδος εὐύδρου νάματ' ἐπινίσεται, Δελφὸν ἀνὰ [πρ]ῶνα μαντεῖον ἐφέπων πάγον· [Ἦν,] κλυτὰ μεγαλόπολις Ἀθθὶς εὐχαῖ[σ]ι

book 1.6 φερόπλοιο ναίουσα

book 1.7 Τριτωνίδος δά[πε]δον ἄθραυστον· ἁγίοις δὲ βω-[ln_10]μοῖσιν Ἅφαιστος αἴθε[ι] νέων μῆρα

book 1.8 ταύρων· ὁμοῦ δέ νιν Ἄραψ ἀτμὸς ἐς Ὄλυμπον ἀνακίδν[α]ται· λιγὺ δὲ λωτὸς βρέμων αἰόλοις μ[έ]λεσιν ᾠδὰν κρέκει· χρυσέα δ' ἁδύθρου[ς] [κί]θαρις ὕμνοισιν ἀναμέλπεται· ὁ δὲ [τεχνιτ]ῶν

book 1.9 πρόπας ἑσμὸς Ἀθθίδα λαχ[ὼν][ln_15][τὸν κιθαρί]σει κλυτὸν

book 1.10 παῖδα μεγάλου [Διὸς ὑμ- –νοῦσί σε

book 1.11 πα]ρ' ἀκρονιφῆ τόνδε πάγον, ἄμ[βροτ' ἀψευδέ' ὃς] πᾶσι θνατοῖς

book 1.12 προφαίνει[ς λόγια, τρ]ίποδα μαντεῖον ὡς ε[ἷλες, ἐχθρὸς ὃν ἐφρ]ούρει δράκων, ὅτε τ[εοῖσι βέλεσιν ἔτ]ρησας αἰόλον ἑλικτὰν [φυάν,]

book 1.1 [ln_20][ἔσθ' ὁ θήρ, συχνὰ] συρίγμαθ' ἱεὶς ἀθώπε[υτ', ἀπέπνευς' ὁμῶς·] [ὡς] δὲ Γαλατᾶν Ἄρης [… ..]ν ἐπέρας' ἄσεπτ[ος … ..]ς. Ἀλλ' ἰὼ γένναν [… ..]ι θάλος

book 1.2 φιλόμ[αχον ? ..[ln_25]..]ε δάμοιο λο[.. ..]ρων ἐφορ[… ..τεον κ[… ..]εναι κ[.. ..]θη [..[ln_30].. …

book 2.1 απε

book 2.2 ρατ ος

book 3 αιιο τιναο εν